Πρ. Νὴ τὴν Ἀφροδίτην, μακαρία γὰρ ἡ πόλις
Ἔσται τὸ λοιπόν. Αν. κατὰ τί; Πρ. πολλῶν οὕνεκα.
Οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
Ἔσται τὸ λοιπόν. οὐδαμοῦ δὲ μαρτυρεῖν,
Οὐ συκοφαντεῖν. Βλε. μηδαμῶς πρὸς τῶν θεῶν
Τουτὶ ποιήσῃς, μηδ' ἀφέλῃς μου τὸν βίον.
Αν. Ὦ δαιμόνι' ἀνδρῶν, τὴν γυναῖκ' ἔα λέγειν.
Πρ. Μὴ λωποδυτῆσαι. μὴ φθονεῖν τοῖς πλησίον.
Μὴ γυμνὸν εἶναι, μὴ πένητα μηδένα.
Μὴ λοιδορεῖσθαι. μὴ 'νεχυραζόμενον φέρειν.
Αν. Νὴ τὸν Ποσειδῶ, μεγάλα γ' εἰ μὴ ψεύσεται.
Πρ. Ἀλλ' ἀποφανῶ τοῦθ' ὥστε μοί γε μαρτυρεῖν,
Καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί.

A PR. Per Venerem, beata enim ciuitas
Erit posthac. VIR. Circa quid? PR. Multorum gratia.
Non enim amplius audentibus ipsi turpia facere
Erit posthac, nullo modo testificari,
Non criminari. BLE. Nequaquam per Deos
Hoc facies, neque auferes mei vitam.
B VIR. O misere virorum, mulierem sine dicere.
PR. Non vestes furari, non inuidere his prope,
Non nudum esse, non pauperem nullum,
Non conuiciari, non pignoratum ferre.
VIR. Per Neptunum magna, si non mentietur.
PR. Sed ostendam hoc ad mihi testificari,
Et hunc ipsum nil contradicere mihi.

Σχόλια. Μηδ' ἀφέλῃς μου τὸν βίον.] διοικοῦσα μετὰ τῶν ἄλλων γυναικῶν.

Bisetus. Ὦ δαιμόνι' ἀνδρῶν.] Ἄλλος τὶς ἀνὴρ προσελθὼν τῷ Βλεπύρῳ, ὃς τοὺς τῆς ἑαυτοῦ γυναικὸς Πραξαγόρας λόγους διέκοπτεν, ἐπιπλήθει.

C Σχόλια. Μὴ 'νεχυραζόμενον.] ἔθος γὰρ ἦν τοῖς δικαζομένοις ἐνέχυρα φέρειν καὶ διδόναι τὴν ἑαυτῶν οὐσίαν.

## ΧΟΡΟΣ, ΠΡΑΞΑΓΟΡΑ, Βλέπυρος.

## Chorus, Praxagora, Blepyrus.

Biset. Περὶ τῆς ἐσομένης πολιτείας διαλέγονται.

D

Χο. Νῦν δὴ δεῖ σε πυκνὴν φρένα καὶ
Φιλόσοφον ἐγείρειν φροντίδ' ἐπισταμένην
Ταῖσι φίλαισιν ἀμύνειν. κοινῇ γὰρ ἐπ' εὐτυχίαισιν
Ἔρχεται γλώττης ἐπίνοια, πολίτην
Δῆμον ἐπαγλαΐζουσα μυρίαισιν εὐτυχίαισι βίου
Δηλοῦν ὅ,τι περ δύναται καιρός.
Δεῖται γὰρ τοί γε σοφοῦ τινος ἐξευρήματος ἡ πόλις ἡμῶν.
Ἀλλὰ πέραινε μόνον μήτε δεδραμένα, μήτ' εἰρημένα πω πρότερον.
Μισοῦσι γὰρ ἢν τὰ παλαιὰ πολλάκις θεῶνται.
Ἀλλ' οὐ μέλλειν ἀλλ' ἅπτεσθαι καὶ δὴ χρὴ ταῖς διανοίαις
Ὡς τὸ ταχύνειν χαρίτων μετέχει πλεῖστον παρὰ τοῖσι θεαταῖς.
Πρ. Καὶ μὴν ὅτι μὲν χρηστὰ διδάξω, πιστεύω. τοὺς δὲ θεατάς
Εἰ καινοτομεῖν ἐθελήσουσι καὶ μὴ τοῖς ἠθάσι λίαν
Τοῖς τ' ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ' ἔσθ' ὃ μάλιστα δέδοικα.
Βλ. Περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν μὴ δείσῃς, τοῦτο γὰρ ἡμῖν

CH. Nunc iam oportet te prudentem mentem &
Sapientem suscitare, curam scientem
Amicis auxiliari: communiter enim in bonis fortunis,
Venit lingua prudentia, ciuilem
Populum illustrans multis bonis fortunis vitæ,
Declarare quod potest tempus:
E Indiget enim sapientis alicuius inuentionis ciuitas nostrûm.
Sed perfice solum, neque facta, neque dicta prius.
Oderunt enim, si antiqua sæpe vident.
Sed non tardare, sed tangere & iam oportet sententijs,
Quod festinare Gratiarum participat plurimum apud spectatores.
F PR. Et quidem quod quidem bona docebo, credo. hos autem spectatores
Si noua facere volunt, & non consuetus valde,
His antiquis inde morari, hoc est, quod maximè timeo.
BLE. Circa igitur noua facere non timebis: hoc enim nobis

Bisetus. Ἀλλ' οὐ μέλλειν] στίχοι ἀναπαιστικοὶ τετράμετροι καταληκτικοὶ εἰς συλλαβὴν ὧν ὁ τελευταῖος, μὴ ἐξελκυσθῇ καθὸ δεῖ πνήσει. τούτους ἀπελῶσιν ἅπαντας. καλεῖται δὲ ὥς φησιν Ἡφαιστίων, τοῦτο τὸ μέτρον Ἀριστοφάνειον, διὰ τὸ τὸν Ἀριστοφάνην αὐτῷ κεχρῆσθαι πολλῷ. G καὶ κατὰ πᾶσαν χώραν δέχεται σπονδεῖον, ἀνάπαιστον. σπανίως δὲ καὶ προκελευσματικόν. παρὰ δὲ τοῖς δραματοποιοῖς καὶ ἴαμβον, καὶ δάκτυλον. Εἰ καινοτομεῖν ἐθελήσουσι] τῶν Ἀθηναίων ὡς καινοτόμων, καὶ περὶ τοὺς νεωτερισμοὺς ἐσπουδακότων καθάπτεται, καὶ τὰ τούτων ἤθη διασύρει.

Δρᾶν